# 2. Samuel 20

Septuaginta (LXX)

**1** καὶ ἐκεῖ ἐπικαλούμενος υἱὸς παράνομος καὶ ὄνομα αὐτῷ σαβεε υἱὸς βοχορι ἀνὴρ ὁ ιεμενι καὶ ἐσάλπισεν ἐν τῇ κερατίνῃ καὶ εἶπεν οὐκ ἔστιν ἡμῖν μερὶς ἐν δαυιδ οὐδὲ κληρονομία ἡμῖν ἐν τῷ υἱῷ ιεσσαι ἀνὴρ εἰς τὰ σκηνώματά σου ισραηλ

**2** καὶ ἀνέβη πᾶς ἀνὴρ ισραηλ ἀπὸ ὄπισθεν δαυιδ ὀπίσω σαβεε υἱοῦ βοχορι καὶ ἀνὴρ ιουδα ἐκολλήθη τῷ βασιλεῖ αὐτῶν ἀπὸ τοῦ ιορδάνου καὶ ἕως ιερουσαλημ

**3** καὶ εἰσῆλθεν δαυιδ εἰς τὸν οἶκον αὐτοῦ εἰς ιερουσαλημ καὶ ἔλαβεν ὁ βασιλεὺς τὰς δέκα γυναῖκας τὰς παλλακὰς αὐτοῦ ἃς ἀφῆκεν φυλάσσειν τὸν οἶκον καὶ ἔδωκεν αὐτὰς ἐν οἴκῳ φυλακῆς καὶ διέθρεψεν αὐτὰς καὶ πρὸς αὐτὰς οὐκ εἰσῆλθεν καὶ ἦσαν συνεχόμεναι ἕως ἡμέρας θανάτου αὐτῶν χῆραι ζῶσαι

**4** καὶ εἶπεν ὁ βασιλεὺς πρὸς αμεσσαϊ βόησόν μοι τὸν ἄνδρα ιουδα τρεῖς ἡμέρας σὺ δὲ αὐτοῦ στῆθι

**5** καὶ ἐπορεύθη αμεσσαϊ τοῦ βοῆσαι τὸν ιουδαν καὶ ἐχρόνισεν ἀπὸ τοῦ καιροῦ οὗ ἐτάξατο αὐτῷ δαυιδ

**6** καὶ εἶπεν δαυιδ πρὸς αβεσσα νῦν κακοποιήσει ἡμᾶς σαβεε υἱὸς βοχορι ὑπὲρ αβεσσαλωμ καὶ νῦν σὺ λαβὲ μετὰ σεαυτοῦ τοὺς παῖδας τοῦ κυρίου σου καὶ καταδίωξον ὀπίσω αὐτοῦ μήποτε ἑαυτῷ εὕρῃ πόλεις ὀχυρὰς καὶ σκιάσει τοὺς ὀφθαλμοὺς ἡμῶν

**7** καὶ ἐξῆλθον ὀπίσω αὐτοῦ οἱ ἄνδρες ιωαβ καὶ ὁ χερεθθι καὶ ὁ φελεθθι καὶ πάντες οἱ δυνατοὶ καὶ ἐξῆλθαν ἐξ ιερουσαλημ διῶξαι ὀπίσω σαβεε υἱοῦ βοχορι

**8** καὶ αὐτοὶ παρὰ τῷ λίθῳ τῷ μεγάλῳ τῷ ἐν γαβαων καὶ αμεσσαϊ εἰσῆλθεν ἔμπροσθεν αὐτῶν καὶ ιωαβ περιεζωσμένος μανδύαν τὸ ἔνδυμα αὐτοῦ καὶ ἐπ' αὐτῷ περιεζωσμένος μάχαιραν ἐζευγμένην ἐπὶ τῆς ὀσφύος αὐτοῦ ἐν κολεῷ αὐτῆς καὶ ἡ μάχαιρα ἐξῆλθεν καὶ ἔπεσεν

**9** καὶ εἶπεν ιωαβ τῷ αμεσσαϊ εἰ ὑγιαίνεις σύ ἀδελφέ καὶ ἐκράτησεν ἡ χεὶρ ἡ δεξιὰ ιωαβ τοῦ πώγωνος αμεσσαϊ τοῦ καταφιλῆσαι αὐτόν

**10** καὶ αμεσσαϊ οὐκ ἐφυλάξατο τὴν μάχαιραν τὴν ἐν τῇ χειρὶ ιωαβ καὶ ἔπαισεν αὐτὸν ἐν αὐτῇ ιωαβ εἰς τὴν ψόαν καὶ ἐξεχύθη ἡ κοιλία αὐτοῦ εἰς τὴν γῆν καὶ οὐκ ἐδευτέρωσεν αὐτῷ καὶ ἀπέθανεν καὶ ιωαβ καὶ αβεσσα ὁ ἀδελφὸς αὐτοῦ ἐδίωξεν ὀπίσω σαβεε υἱοῦ βοχορι

**11** καὶ ἀνὴρ ἔστη ἐπ' αὐτὸν τῶν παιδαρίων ιωαβ καὶ εἶπεν τίς ὁ βουλόμενος ιωαβ καὶ τίς τοῦ δαυιδ ὀπίσω ιωαβ

**12** καὶ αμεσσαϊ πεφυρμένος ἐν τῷ αἵματι ἐν μέσῳ τῆς τρίβου καὶ εἶδεν ὁ ἀνὴρ ὅτι εἱστήκει πᾶς ὁ λαός καὶ ἀπέστρεψεν τὸν αμεσσαϊ ἐκ τῆς τρίβου εἰς ἀγρὸν καὶ ἐπέρριψεν ἐπ' αὐτὸν ἱμάτιον καθότι εἶδεν πάντα τὸν ἐρχόμενον ἐπ' αὐτὸν ἑστηκότα

**13** ἡνίκα δὲ ἔφθασεν ἐκ τῆς τρίβου παρῆλθεν πᾶς ἀνὴρ ισραηλ ὀπίσω ιωαβ τοῦ διῶξαι ὀπίσω σαβεε υἱοῦ βοχορι

**14** καὶ διῆλθεν ἐν πάσαις φυλαῖς ισραηλ εἰς αβελ καὶ εἰς βαιθμαχα καὶ πάντες ἐν χαρρι καὶ ἐξεκκλησιάσθησαν καὶ ἦλθον κατόπισθεν αὐτοῦ


Druckausgabe erzeugt am 02.08.2025 auf bibelkommentare.de

**15** καὶ παρεγενήθησαν καὶ ἐπολιόρκουν ἐπ' αὐτὸν τὴν αβελ καὶ τὴν βαιθμαχα καὶ ἐξέχεαν πρόσχωμα πρὸς τὴν πόλιν καὶ ἔστη ἐν τῷ προτειχίσματι καὶ πᾶς ὁ λαὸς ὁ μετὰ ιωαβ ἐνοοῦσαν καταβαλεῖν τὸ τεῖχος

**16** καὶ ἐβόησεν γυνὴ σοφὴ ἐκ τοῦ τείχους καὶ εἶπεν ἀκούσατε ἀκούσατε εἴπατε δὴ πρὸς ιωαβ ἔγγισον ἕως ὧδε καὶ λαλήσω πρὸς αὐτόν

**17** καὶ προσήγγισεν πρὸς αὐτήν καὶ εἶπεν ἡ γυνή εἰ σὺ εἶ ιωαβ ὁ δὲ εἶπεν ἐγώ εἶπεν δὲ αὐτῷ ἄκουσον τοὺς λόγους τῆς δούλης σου καὶ εἶπεν ιωαβ ἀκούω ἐγώ εἰμι

**18** καὶ εἶπεν λέγουσα λόγον ἐλάλησαν ἐν πρώτοις λέγοντες ἠρωτημένος ἠρωτήθη ἐν τῇ αβελ καὶ ἐν δαν εἰ ἐξέλιπον ἃ ἔθεντο οἱ πιστοὶ τοῦ ισραηλ ἐρωτῶντες ἐπερωτήσουσιν ἐν αβελ καὶ οὕτως εἰ ἐξέλιπον

**19** ἐγώ εἰμι εἰρηνικὰ τῶν στηριγμάτων ισραηλ σὺ δὲ ζητεῖς θανατῶσαι πόλιν καὶ μητρόπολιν ἐν ισραηλ ἵνα τί καταποντίζεις κληρονομίαν κυρίου

**20** καὶ ἀπεκρίθη ιωαβ καὶ εἶπεν ἵλεώς μοι ἵλεώς μοι εἰ καταποντιῶ καὶ εἰ διαφθερῶ

**21** οὐχ οὗτος ὁ λόγος ὅτι ἀνὴρ ἐξ ὄρους εφραιμ σαβεε υἱὸς βοχορι ὄνομα αὐτοῦ καὶ ἐπῆρεν τὴν χεῖρα αὐτοῦ ἐπὶ τὸν βασιλέα δαυιδ δότε αὐτόν μοι μόνον καὶ ἀπελεύσομαι ἀπάνωθεν τῆς πόλεως καὶ εἶπεν ἡ γυνὴ πρὸς ιωαβ ἰδοὺ ἡ κεφαλὴ αὐτοῦ ῥιφήσεται πρὸς σὲ διὰ τοῦ τείχους

**22** καὶ εἰσῆλθεν ἡ γυνὴ πρὸς πάντα τὸν λαὸν καὶ ἐλάλησεν πρὸς πᾶσαν τὴν πόλιν ἐν τῇ σοφίᾳ αὐτῆς καὶ ἀφεῖλεν τὴν κεφαλὴν σαβεε υἱοῦ βοχορι καὶ ἔβαλεν πρὸς ιωαβ καὶ ἐσάλπισεν ἐν κερατίνῃ καὶ διεσπάρησαν ἀπὸ τῆς πόλεως ἀνὴρ εἰς τὰ σκηνώματα αὐτοῦ καὶ ιωαβ ἀπέστρεψεν εἰς ιερουσαλημ πρὸς τὸν βασιλέα

**23** καὶ ιωαβ πρὸς πάσῃ τῇ δυνάμει ισραηλ καὶ βαναιας υἱὸς ιωδαε ἐπὶ τοῦ χερεθθι καὶ ἐπὶ τοῦ φελεθθι

**24** καὶ αδωνιραμ ἐπὶ τοῦ φόρου καὶ ιωσαφατ υἱὸς αχιλουθ ἀναμιμνήσκων

**25** καὶ σουσα γραμματεύς καὶ σαδωκ καὶ αβιαθαρ ἱερεῖς

**26** καί γε ιρας ὁ ιαριν ἦν ἱερεὺς τοῦ δαυιδ


Druckausgabe erzeugt am 02.08.2025 auf bibelkommentare.de